μενοι καρποῦνται; ¶ Ἀλλ' ἐγώ τοι, ἔφη, ἵνα μὴ πά-
σχω ταῦτα, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν κατακλείω,
14 ἀλλὰ ξένος πανταχοῦ εἰμί. ¶ Καὶ ὁ Σωκράτης
ἔφη, τοῦτο μέντοι ἤδη λέγεις δεινὸν πάλαισμα. τοὺς
γὰρ ξένους, ἐξ οὗ ὅ τε Σίννις καὶ ὁ Σκείρων καὶ ὁ Προ-
κρούστης ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ· ἀλλὰ νῦν οἱ μὲν
πολιτευόμενοι ἐν ταῖς πατρίσι, καὶ νόμους τίθενται
ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις
καλουμένοις ἄλλους κτῶνται βοηθούς, καὶ ταῖς πόλε-
σιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα κτῶνται οἷς
ἀμύνονται τοὺς ἀδικοῦντας, καὶ πρὸς τούτοις ἄλλους
ἔξωθεν συμμάχους κατασκευάζονται· καὶ οἱ μὲν πάν-
15 τα ταῦτα κεκτημένοι ὅμως ἀδικοῦνται· Σὺ δὲ οὐδὲν
μὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς, ἔνθα πλεῖστοι ἀδι-
κοῦνται, πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν δ' ἂν
πόλιν ἀφίκῃ, τῶν πολιτῶν πάντων ἥττων ὤν, καὶ
τοιοῦτος, οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι ἀδι-
κεῖν, ὅμως, διὰ τὸ ξένος εἶναι, οὐκ ἂν οἴει ἀδικηθῆναι;
ἤ, διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν καὶ
προσιόντι· καὶ ἀπιόντι, θαῤῥεῖς; ἢ διότι καὶ δοῦλος
ἂν οἴει [τοιοῦτος] εἶναι, οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖν;
τίς

§. 14. πάλαισμα] Eleganter de callidis astutisque consiliis dicitur. Hic autem εἰρωνικῶς capiendum. v. Victor. Var. Lect. II, 10. *Ern.*

Σίννις] Iunt. Σίδης, et Ald. cum Paris. Σίννης. Scribe Σίνις. vid. Xyl. ad Plut. Thes. 8.

ἀπέθανον] A Theseo isti latrones eodem mortis genere sunt affecti, quo ipsi antea alios trucidaverant.

οὐδεὶς ἔτι ἀδικεῖ] Haec quoque εἰρωνικῶς sunt intelligenda.

οἱ μὲν πολιτευόμενοι] Media verba ipsa, quae sequuntur, satis declarant, sermonem esse de liberis ciuitatibus, quales tum in Graecia erant.

ἀμύνονται] Scribendum videtur ἀμύνωνται, *quibus vlciscantur*, vel *vlcisci possint*, quod et superiora et sensus sane desiderant. *Ern.*

§. 15. πάντων] Ernestus edidit πάντα; et ait, exquisitius esse, quam vt vitium scribae videatur. Sed, cum ex sola Caseliana ed. illud sit repetitum, quae nullius est auctoritatis: a vulgata lectione, quae cum est certa tum bona, non debet recedi.

προσιόντι] Paris. 1 προϊόντι.

δοῦλος ἂν οἴει τοιοῦτος εἶναι, οἷος] Iunt. omittit τοιοῦτος. In Cast. est δοῦλος ὢν οἴει, οἷος, vitiose.

λυσιτελεῖν] Reiskius vult corrigi λυσιτελεῖ vel λυσιτελοίη. Cf. Reizii Disp. Epimetr. p. 24. vbi exemplis et ratione docet infinitum tempus requiri, et τοιοῦτος aliquando omitti in altero membro.